# ΤΑ ΕΙΣ ΕΑΥΤΟΝ

MARCUS AURELIUS

# НАЕДИНЕ С СОБОЙ: РАЗМЫШЛЕНИЯ

МАРК АВРЕЛИЙ

ИЛЛЮСТРИРОВАННАЯ КНИГА НА ЯЗЫКЕ ОРИГИНАЛА С ПЕРЕВОДОМ

ДРЕВНЕГРЕЧЕСКИЙ — BILINGUA — РУССКИЙ

Lingua

ИЗДАТЕЛЬСТВО АСТ
МОСКВА

# TA ENONTA

BIBΛION 1 ................6
BIBΛION 2 ..............36
BIBΛION 3 ..............56
BIBΛION 4 ..............82
BIBΛION 5 .............. 118
BIBΛION 6 ..............150
BIBΛION 7 ..............186
BIBΛION 8 ............ 226
BIBΛION 9 ............ 262
BIBΛION 10 ............ 294
BIBΛION 11 ............ 326
BIBΛION 12 ..............358

# СОДЕРЖАНИЕ


Книга первая . . . . . . . . . . . . . . . 7

Книга вторая . . . . . . . . . . . . . . 37

Книга третья. . . . . . . . . . . . . . . 57

Книга четвертая . . . . . . . . . . . 83

Книга пятая . . . . . . . . . . . . . . 119

Книга шестая . . . . . . . . . . . . . 151

Книга седьмая . . . . . . . . . . . . 187

Книга восьмая . . . . . . . . . . . 227

Книга девятая . . . . . . . . . . . 263

Книга десятая . . . . . . . . . . . 295

Книга одиннадцатая . . . . . 327

Книга двенадцатая . . . . . . . 359

# ΒΙΒΛΙΟΝ Ι

1. Παρὰ τοῦ πάππου Οὐήρου τὸ καλόηθες καὶ ἀόργητον.

2. Παρὰ τῆς δόξης καὶ μνήμης τῆς περὶ τοῦ γεννήσαντος τὸ αἰδῆμον καὶ ἀῤῥενικόν.

3. Παρὰ τῆς μητρὸς τὸ θεοσεβὲς καὶ μεταδοτικὸν καὶ ἀφεκτικὸν οὐ μόνον τοῦ κακοποιεῖν, ἀλλὰ καὶ τοῦ ἐπὶ ἐννοίας γίνεσθαι τοιαύτης˙ ἔτι δὲ τὸ λιτὸν κατὰ τὴν δίαιταν καὶ πόῤῥω τῆς πλουσιακῆς διαγωγῆς.

4. Παρὰ τοῦ προπάππου τὸ μὴ εἰς δημοσίας διατριβὰς φοιτῆσαι καὶ τὸ ἀγαθοῖς διδασκάλοις κατ᾽ οἶκον χρήσασθαι καὶ τὸ γνῶναι ὅτι εἰς τὰ τοιαῦτα δεῖ ἐκτενῶς ἀναλίσκειν.

5. Παρὰ τοῦ τροφέως τὸ μήτε Πρασιανὸς ἢ Βενετιανὸς μήτε Παλμουλάριος ἢ Σκουτάριος γενέσθαι˙ καὶ τὸ φερέπονον καὶ ὀλιγοδεές˙ καὶ τὸ αὐτουργικὸν καὶ ἀπολύπραγμον˙ καὶ τὸ δυσπρόσδεκτον διαβολῆς.

# КНИГА ПЕРВАЯ

1. От Вера[1], моего деда, я унаследовал сердечность и незлобивость.

2. От славы моего родителя[2] и памяти о нем — скромность и мужественность.

3. От матери[3] — благочестие, щедрость, воздержание не только от дурных дел, но и дурных помыслов. А также — простоту образа жизни, далекую от всякой роскоши.

4. От прадеда[4] — то, что не пришлось посещать публичных школ; я пользовался услугами прекрасных учителей на дому и понял, что на это стоит потратиться.

5. От воспитателя[5] — равнодушие к борьбе между зелеными и синими, победам гладиаторов с фракийским или галльским вооружением[6]. Неприхотливость, выносливость в трудах, несуетливость и стремление к са-

6. Παρὰ Διογνήτου τὸ ἀκενόσπουδον· καὶ τὸ ἀπιστητικὸν τοῖς ὑπὸ τῶν τερατευομένων καὶ γοήτων περὶ ἐπῳδῶν καὶ [περὶ] δαιμόνων ἀποπομπῆς καὶ τῶν τοιούτων λεγομένοις· καὶ τὸ μὴ ὀρτυγοκοπεῖν μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι· καὶ τὸ ἀνέχεσθαι παῤῥησίας· καὶ τὸ οἰκειωθῆναι φιλοσοφίᾳ καὶ τὸ ἀκοῦσαι πρῶτον μὲν Βακχείου, εἶτα Τανδάσιδος καὶ Μαρκιανοῦ· καὶ τὸ γράψαι διαλόγους ἐν παιδί· καὶ τὸ σκίμποδος καὶ δορᾶς ἐπιθυμῆσαι καὶ ὅσα τοιαῦτα τῆς Ἑλληνικῆς ἀγωγῆς ἐχόμενα.

7. Παρὰ Ῥουστίκου τὸ λαβεῖν φαντασίαν τοῦ χρῄζειν διορθώσεως καὶ θεραπείας τοῦ ἤθους· καὶ τὸ μὴ ἐκτραπῆναι εἰς ζῆλον σοφιστικόν, μηδὲ τὸ συγγράφειν περὶ τῶν θεωρημάτων, ἢ προτρεπτικὰ λογάρια διαλέγεσθαι, ἢ φαντασιοπλήκτως τὸν ἀσκητικὸν ἢ τὸν εὐεργετικὸν ἄνδρα ἐπιδείκνυσθαι· καὶ τὸ ἀποστῆναι ῥητορικῆς καὶ ποιητικῆς καὶ ἀστειολογίας· καὶ τὸ μὴ ἐν στολίῳ κατ οἶκον περιπατεῖν μηδὲ τὰ τοιαῦτα ποιεῖν· καὶ τὸ τὰ ἐπιστόλια ἀφελῶς γράφειν, οἷον τὸ ὑπ αὐτοῦ τούτου ἀπὸ Σινοέσσης τῇ μητρί μου γραφέν· καὶ τὸ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως καὶ εὐδιαλλάκτως, ἐπειδὰν τάχιστα αὐτοὶ ἐπανελθεῖν ἐθελήσωσι, διακεῖσθαι· καὶ τὸ ἀκριβῶς ἀναγινώσκειν καὶ μὴ ἀρκεῖσθαι περινοοῦντα ὁλοσχερῶς μηδὲ τοῖς περιλαλοῦσι ταχέως συγκατατίθεσθαι· καὶ τὸ ἐντυχεῖν τοῖς Ἐπικτητείοις ὑπομνήμασιν, ὧν οἴκοθεν μετέδωκεν.

8. Παρὰ Ἀπολλωνίου τὸ ἐλεύθερον καὶ ἀναμφιβόλως ἀκύβευτον καὶ πρὸς μηδὲν ἄλλο ἀποβλέπειν μηδὲ ἐπ ὀλίγον ἢ πρὸς

мостоятельности в решении дел, невосприимчивость к клевете.

6. От Диогнета[7] — нерасположение к пустякам, недоверие к россказням чудотворцев и волшебников о заклинаниях, изгнании демонов и тому подобных вещах. А также и то, что не разводил перепелов, не увлекался глупостями, а отдался философии, слушая сначала Бакхия, затем Тандасида и Маркиана. Уже с детских лет писал диалоги и полюбил простое ложе, звериную шкуру и прочие принадлежности эллинского образа жизни.

7. От Рустика[8] — мысль о необходимости исправлять и образовывать свой характер, не уклоняться в сторону изощренной софистики и сочинения бессмысленных теорий, не составлять увещательных речей, не разыгрывать напоказ ни страстотерпца, ни благодетеля, не увлекаться риторикой, поэтическими украшениями речи, и не разгуливать дома в столе[9]. Благодаря ему, я пишу письма простым слогом, по примеру письма, написанного им самим из Синуэссы к моей матери. Я всегда готов к снисхождению и примирению с теми, кто в гневе поступил неправильно, оскорбительно, едва они сделают первый шаг к восстановлению наших прежних отношений. Я стараюсь вникнуть во все, что читаю, не довольствуясь поверхностным взглядом, но не спешу соглашаться с многоречивыми пустословами. Рустик первый познакомил меня с «Воспоминаниями об Эпиктете»[10], ссудив их из своей библиотеки.

8. От Аполлония[11] — свободомыслие и осмотрительность, стремление неуклонно руководствоваться ничем

τὸν λόγον· καὶ τὸ ἀεὶ ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις· καὶ τὸ ἐπὶ παραδείγματος ζῶντος ἰδεῖν ἐναργῶς ὅτι δύναται ὁ αὐτὸς σφοδρότατος εἶναι καὶ ἀνειμένος· καὶ τὸ ἐν ταῖς ἐξηγήσεσι μὴ δυσχεραντικόν· καὶ τὸ ἰδεῖν ἄνθρωπον σαφῶς ἐλάχιστον τῶν ἑαυτοῦ καλῶν ἡγούμενον τὴν ἐμπειρίαν καὶ τὴν ἐντρέχειαν τὴν περὶ τὸ παραδιδόναι τὰ θεωρήματα· καὶ τὸ μαθεῖν πῶς δεῖ λαμβάνειν τὰς δοκούσας χάριτας παρὰ φίλων, μήτε ἐξηττώμενον διὰ ταῦτα μήτε ἀναισθήτως παραπέμποντα.

9. Παρὰ Σέξτου τὸ εὐμενές· καὶ τὸ παράδειγμα τοῦ οἴκου τοῦ πατρονομουμένου· καὶ τὴν ἔννοιαν τοῦ κατὰ φύσιν ζῆν· καὶ τὸ σεμνὸν ἀπλάστως· καὶ τὸ στοχαστικὸν τῶν φίλων κηδεμονικῶς· καὶ τὸ ἀνεκτικὸν τῶν ἰδιωτῶν καὶ τῶν ἀθεωρητὶ οἰομένων· καὶ τὸ πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας μὲν πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν αὐτοῦ, αἰδεσιμώτατον δὲ αὐτοῖς ἐκείνοις παρ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν εἶναι· καὶ τὸ καταληπτικῶς καὶ ὁδῷ ἐξευρετικόν τε καὶ τακτικὸν τῶν εἰς βίον ἀναγκαίων δογμάτων· καὶ τὸ μηδὲ ἔμφασίν ποτε ὀργῆς ἢ ἄλλου τινὸς πάθους παρασχεῖν, ἀλλὰ ἅμα μὲν ἀπαθέστατον εἶναι, ἅμα δὲ φιλοστοργότατον· καὶ τὸ εὔφημον ἀψοφητὶ καὶ τὸ πολυμαθὲς ἀνεπιφάντως.

10. Παρὰ Ἀλεξάνδρου τοῦ γραμματικοῦ τὸ ἀνεπίπληκτον καὶ τὸ μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον ἢ

иным, кроме разума, оставаясь верным себе при невыносимой боли, потере ребенка и тяжелой болезни. На его примере я наглядно убедился, что в одном и том же лице величайшая настойчивость может сочетаться со снисходительностью. Когда приходится с трудом растолковывать что-либо, я не раздражаюсь и не выхожу из себя, ибо видел человека, который опытность и мастерство в передаче глубочайших знаний считал наименьшим из своих достоинств. От него я научился, каким образом следует принимать от друзей так называемые услуги, не чувствуя себя вечно обязанным, но и не проявляя равнодушия.

9. От Секста[12] — благожелательность; образец дома, руководимого отцом семейства, представление о жизни, согласно природе, и подлинном величии, заботливое отношение к нуждам друзей, способность терпеливо сносить невежество, верхоглядство, самомнение и ладить со всеми. Общение с Секстом было приятнее всякой лести, да и у самих льстецов он пользовался величайшим почетом, вопреки собственному желанию. От него я научился методически находить и связывать между собою основополагающие правила жизни, не выказывать признаков гнева или какой-либо другой страсти, сочетать невозмутимость с самыми нежными почтительными привязанностями, пользоваться доброй славой, соблюдая благопристойность, накоплять знания, не выставляя их напоказ.

10. От Александра-грамматика[13] я научился воздержанию от упреков и обидных замечаний тем, кто допускал

σόλοικόν τι ἢ ἀπηχὲς προενεγκαμένων, ἀλλ᾽ ἐπιδεξίως αὐτὸ μόνον ἐκεῖνο ὃ ἔδει εἰρῆσθαι προφέρεσθαι ἐν τρόπῳ ἀποκρίσεως ἢ συνεπιμαρτυρήσεως ἢ συνδιαλήψεως περὶ αὐτοῦ τοῦ πράγματος, οὐχὶ περὶ τοῦ ῥήματος, ἢ δι᾽ ἑτέρας τινὸς τοιαύτης ἐμμελοῦς παρυπομνήσεως.

11. Παρὰ Φρόντωνος τὸ ἐπιστῆσαι οἵα ἡ τυραννικὴ βασκανία καὶ ποικιλία καὶ ὑπόκρισις, καὶ ὅτι ὡς ἐπίπαν οἱ καλούμενοι οὗτοι παρ᾽ ἡμῖν εὐπατρίδαι ἀστοργότεροί πως εἰσί.

12. Παρὰ Ἀλεξάνδρου τοῦ Πλατωνικοῦ τὸ μὴ πολλάκις μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα ἢ ἐν ἐπιστολῇ γράφειν ὅτι ἄσχολός εἰμι, μηδὲ διὰ τοιούτου τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα.

13. Παρὰ Κατούλου τὸ μὴ ὀλιγώρως ἔχειν φίλου αἰτιωμένου τι, κἂν τύχῃ ἀλόγως αἰτιώμενος, ἀλλὰ πειρᾶσθαι [καὶ] ἀποκαθιστάναι ἐπὶ τὸ σύνηθες· καὶ τὸ περὶ τῶν διδασκάλων ἐκθύμως εὔφημον, οἷα τὰ περὶ Δομετίου καὶ Ἀθηνοδότου ἀπομνημονευόμενα· καὶ τὸ περὶ τὰ τέκνα ἀληθινῶς ἀγαπητικόν.

14. Παρὰ Σευήρου τὸ φιλοίκειον καὶ φιλάληθες καὶ φιλοδίκαιον· καὶ τὸ δι᾽ αὐτὸν γνῶναι Θρασέαν, Ἑλβίδιον, Κάτωνα, Δίωνα, Βροῦτον· καὶ φαντασίαν λαβεῖν πολιτείας ἰσονόμου, κατ᾽ ἰσότητα καὶ ἰσηγορίαν διοικουμένης, καὶ βασιλείας τιμώσης πάντων μάλιστα τὴν ἐλευθερίαν τῶν ἀρχομένων· καὶ ἔτι παρ᾽ αὐτοῦ τὸ ὁμαλὲς καὶ εὔτονον ἐν τῇ τιμῇ τῆς φιλοσοφίας· καὶ τὸ εὐποιητικὸν καὶ τὸ εὐμετά-

варваризмы, коверкание и неблагозвучность речи, предлагая им надлежащие выражения в форме ответа, подтверждения или совместного разбора самого предмета, а не оборота речи, либо посредством другого уместного приема напоминания.

11. От Фронтона[14] — понимание того, что тирания влечет за собой клевету, изворотливость, лицемерие, и что вообще люди, слывущие у нас аристократами, отличаются бессердечием и черствы душой.

12. От платоника Александра[15] я научился избегать частых, не вынужденных обстоятельствами, ссылок в письмах и разговорах на свою занятость и не увиливать от обязанностей по отношению к ближним под предлогом «неотложных» дел.

13. От Катула[16] — внимательность к жалобам друзей, даже неосновательным и вздорным, стремлением к улаживанию всех конфликтов, чистосердечная уважительность в отношении к своим учителям, желание воздать им хвалу, как это делали, судя по воспоминаниям, Домиций и Афинодот, а также — истинная любовь к детям.

14. От брата моего Севера[17] — любовь к близким, любовь к истине и справедливости. Полученные благодаря ему знания о Тразее, Гельвидии, Катоне, Дионе, Бруте[18] и представление о государстве с равными для всех законами, устроенном на началах равноправия и всеобщего равенства, о власти, ставящей превыше всего свободу граждан. Ему же я обязан неизменным почтением

δοτον ἐκτενῶς καὶ τὸ εὔελπι· καὶ τὸ πιστευτικὸν περὶ τοῦ ὑπὸ τῶν φίλων φιλεῖσθαι, καὶ τὸ ἀνεπίκρυπτον πρὸς τοὺς καταγνώσεως ὑπ᾽ αὐτοῦ τυγχάνοντας, καὶ τὸ μὴ δεῖσθαι στοχασμοῦ τοὺς φίλους αὐτοῦ περὶ τοῦ τί θέλει ἢ τί οὐ θέλει, ἀλλὰ δῆλον εἶναι.

15. Παρὰ Μαξίμου τὸ κρατεῖν ἑαυτοῦ καὶ κατὰ μηδὲν περίφορον εἶναι· καὶ τὸ εὔθυμον ἔν τε ταῖς ἄλλαις περιστάσεσι καὶ ἐν ταῖς νόσοις· καὶ τὸ εὔκρατον τοῦ ἤθους καὶ μειλίχιον καὶ γεραρόν· καὶ τὸ οὐ σχετλίως κατεργαστικὸν τῶν προκειμένων· καὶ τὸ πάντας αὐτῷ πιστεύειν περὶ ὧν λέγοι ὅτι οὕτως φρονεῖ, καὶ περὶ ὧν πράττοι ὅτι οὐ κακῶς πράττει. καὶ τὸ ἀθαύμαστον καὶ ἀνέκπληκτον καὶ μηδαμοῦ ἐπειγόμενον ἢ ὀκνοῦν ἢ ἀμηχανοῦν ἢ κατηφὲς ἢ προσσεσηρός, ἢ πάλιν θυμούμενον ἢ ὑφορώμενον· καὶ τὸ εὐεργετικὸν καὶ τὸ συγγνωμονικὸν καὶ τὸ ἀψευδές· καὶ τὸ ἀδιαστρόφου μᾶλλον ἢ διορθουμένου φαντασίαν παρέχειν· καὶ ὅτι οὔτε ᾠήθη ἄν ποτέ τις ὑπερορᾶσθαι ὑπ αὐτοῦ οὔτε ὑπέμεινεν ἂν κρείττονα αὐτοῦ αὐτὸν ὑπολαβεῖν· καὶ τὸ εὔχαρι ἐν τ . .

16. Παρὰ τοῦ πατρὸς τὸ ἥμερον καὶ μενετικὸν ἀσαλεύτως ἐπὶ τῶν ἐξητασμένως κριθέντων· καὶ τὸ ἀκενόδοξον περὶ τὰς δοκούσας τιμάς· καὶ τὸ φιλόπονον καὶ ἐνδελεχές· καὶ τὸ ἀκουστικὸν τῶν ἐχόντων τι κοινωφελὲς εἰσφέρειν· καὶ τὸ ἀπαρατρέπτως [εἰς] τοῦ κατ᾽ ἀξίαν ἀπονεμητικὸν ἑκάστῳ· καὶ τὸ ἔμπειρον ποῦ μὲν χρεία ἐντάσεως, ποῦ δὲ ἀνέσεως· καὶ τὸ παῦσαι τὰ περὶ τοὺς ἔρωτας τῶν μειρα-

к философии, благотворительностью, постоянством в щедрости, надеждами на лучшее и верою в дружеские чувства. Он никогда не скрывал осуждения чьих-либо проступков, а его друзьям не приходилось догадываться о его желаниях — они были всем ясны.

15. От Максима[19] — самообладание, неподатливость чужим влияниям, бодрость в трудных обстоятельствах, в том числе и болезнях, уравновешенный характер, обходительность и чувство собственного достоинства, старательность в своевременном исполнении очередных дел. Что бы ни говорил Максим, все верили в его искренность, что бы ни делал — в его добрые намерения. У него я научился ничему не удивляться, не поражаться, ни в чем не спешить и не медлить, не теряться, не предаваться унынию, не расточать излишние похвалы, вызывающие позднее гнев и подозрительность, а быть снисходительным, оказывать благодеяния, чуждаясь лжи, имея в виду непоправимость содеянного, а не запоздалые исправления.

Он умел шутить, соблюдая благопристойность, не выказывая презрительного высокомерия, но никто не считал себя выше его.

16. От отца[20] — кротость и непоколебимая твердость в тщательно обдуманных решениях, отсутствие интереса к мнимым почестям, любовь к труду и старательность, внимание ко всем, кто может внести какое-либо общеполезное предложение, неизменное воздаяние каждому по его достоинству, понимание того, где нужна строгость, а где большая мягкость. Благодаря отцу — прекращение лю-

κίων· καὶ ἡ κοινονοημοσύνη καὶ τὸ ἐφεῖσθαι τοῖς φίλοις μήτε συνδειπνεῖν αὐτῷ πάντως μήτε συναποδημεῖν ἐπάναγκες, ἀεὶ δὲ ὅμοιον αὐτὸν καταλαμβάνεσθαι ὑπὸ τῶν διὰ χρείας τινὰς ἀπολειφθέντων· καὶ τὸ ζητητικὸν ἀκριβῶς ἐν τοῖς συμβουλίοις καὶ ἐπίμονον, † ἀλλ᾽ οὐ τό· προαπέστη τῆς ἐρεύνης, ἀρκεσθεὶς ταῖς προχείροις φαντασίαις· καὶ τὸ διατηρητικὸν τῶν φίλων καὶ μηδαμοῦ ἀψίκορον μηδὲ ἐπιμανές· καὶ τὸ αὔταρκες ἐν παντὶ καὶ τὸ φαιδρόν· καὶ τὸ πόῤῥωθεν προνοητικὸν καὶ τῶν ἐλαχίστων προδιοικητικὸν ἀτραγῴδως· καὶ τὸ τὰς ἐπιβοήσεις καὶ πᾶσαν κολακείαν ἐπ αὐτοῦ <συ>σταλῆναι· καὶ τὸ φυλακτικὸν ἀεὶ τῶν ἀναγκαίων τῇ ἀρχῇ καὶ ταμιευτικὸν τῆς χορηγίας καὶ ὑπομενετικὸν τῆς ἐπὶ τῶν τοιούτων τινῶν καταιτιάσεως· καὶ τὸ μήτε περὶ θεοὺς δεισίδαιμον μήτε περὶ ἀνθρώπους δημοκοπικὸν ἢ ἀρεσκευτικὸν ἢ ὀχλοχαρές, ἀλλὰ νῆφον ἐν πᾶσι καὶ βέβαιον καὶ μηδαμοῦ ἀπειρόκαλον μηδὲ καινοτόμον· καὶ τὸ τοῖς εἰς εὐμάρειαν βίου φέρουσί τι, ὧν ἡ τύχη παρεῖχε δαψίλειαν, χρηστικὸν ἀτύφως ἅμα καὶ ἀπροφασίστως, ὥστε παρόντων μὲν ἀνεπιτηδεύτως ἅπτεσθαι, ἀπόντων δὲ μὴ δεῖσθαι· καὶ τὸ μηδὲ ἄν τινα εἰπεῖν μήτε ὅτι σοφιστὴς μήτε ὅτι οὐερνάκλος μήτε ὅτι σχολαστικός, ἀλλ᾽ ὅτι ἀνὴρ πέπειρος, τέλειος, ἀκολάκευτος, προεστάναι δυνάμενος καὶ τῶν ἑαυτοῦ καὶ ἄλλων. πρὸς τούτοις δὲ καὶ τὸ τιμητικὸν τῶν ἀληθῶς φιλοσοφούντων, τοῖς δὲ ἄλλοις οὐκ ἐξονειδιστικὸν οὐδὲ μὴν εὐπαράγωγον ὑπ᾽ αὐτῶν· ἔτι δὲ τὸ εὐόμιλον καὶ εὔχαρι οὐ κατακόρως· καὶ τὸ τοῦ ἰδίου σώματος ἐπιμελητικὸν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος οὔτε πρὸς καλλωπισμὸν οὔτε μὴν ὀλιγώρως, ἀλλ᾽ ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιστα ἰατρικῆς χρῄζειν ἢ φαρμάκων καὶ ἐπιθεμάτων [ἐκτός]· μάλιστα δὲ τὸ παραχωρητικὸν ἀβασκάνως τοῖς δύναμίν τινα κεκτημένοις, οἷον τὴν φραστικὴν

бовных дел с мальчиками и преданность общественным делам. Отец разрешал своим друзьям не являться на его обеды и не обязательно сопровождать его в путешествиях; те, кто отлучались по своему делу, при возвращении сохраняли его прежнее расположение. Во время совещаний он упорно настаивал на исследовании всех обстоятельств дела и не спешил положить конец обсуждению, довольствуясь первым встретившимся решением. Он сохранял постоянство в отношениях с друзьями, не меняя их из-за пресыщения, но и не поддаваясь чрезмерному увлечению ими. Самостоятельность во всем, ясный ум, предвидение событий далеко вперед, предусмотрительная распорядительность во всем, вплоть до мелочей, без тени кичливости своими способностями. Приветственных кликов и всяческой лести при нем стало меньше. И неусыпная охрана того, что необходимо государству, бережливость в расходах и выдержка, когда это ему ставилось в вину. И не было у него суеверного страха перед богами, а что касается людей, то не было ни заискивания перед народом, ни стремления понравиться, ни угодливости перед толпой, а напротив — трезвость и основательность; и никогда — безвкусной погони за новизной. Всем тем, что делает жизнь легкой — а это судьба давала ему в изобилии, — он пользовался и скромно, и вместе с тем охотно, так что он спокойно брал то, что есть, и не нуждался в том, чего нет. И никто не сказал бы про него, что он софист, вульгарный болтун или педант, а напротив, — что он человек сложившийся, совершенный, чуждый лести и способный руководитель и своими, и чужими делами. Вдобавок он ценил истинных философов, а остальных не порицал, хотя и не поддавался им. Кроме